www.tezaurliturgic.ro

+

ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΠΑΡΑΣΚΕΥΑ

## ΤΟΥ ΤΡΑΠΕΖΟΥΝΤΙΟΥ

(οὗ ἡ μνήμη τῇ α΄ Μαρτίου)

Ποιηθεῖσα ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵αϡϞϛ΄.* 1996 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΤΗ Α΄. ΤΟΥ ΜΗΝΟΣ ΜΑΡΤΙΟΥ
## ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΠΑΡΑΣΚΕΥΑ ΤΟΥ ΤΡΑΠΕΖΟΥΝΤΙΟΥ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῆς Τραπεζοῦντος τὸν γόνον, Παρασκευᾶν τὸν κλεινόν, νεομαρτύρων δόξαν, εὐφημήσωμεν ὕμνοις, καὶ γὰρ τῶν Ὀρθοδόξων, πίστιν λαμπρῶς, ὁμολογήσας ἀπείληφε, τὸ τῆς ἀθλήσεως στέφος, καὶ νῦν Χριστῷ, ἱκετεύει τοῦ σωθῆναι ἡμᾶς.

Τὸν πόντον βίου παρόντος, ἀβρόχοις ἴχνεσιν, Παρασκευᾶ διῆλθες, καὶ ἐφεῦρες λιμένα, τῆς ἄνω Βασιλείας, ἐν ÷Fῆ ὡς ναῦς, θεοΐστιος ἔφθασας, Χριστὸν ὁρῶν Ὃν ἐπόθησας ἐκ ψυχῆς, καὶ πρεσβεύεις τοῦ σωθῆναι ἡμᾶς.

Ὄντως τροφὴν τὴν ἀρίστην καὶ διαμένουσαν, κατὰ τὴν θείαν κλῆσιν, παρεσκεύασας Μάρτυς, διὸ καὶ ἐν τραπέζῃ τῇ μυστικῇ, Παραδείσου ἐκάθησας, τρυφῶν τῆς θέας Δεσπότου εὐφραντικῶς, καὶ πρεσβεύεις τοῦ σωθῆναι ἡμᾶς.

Οὐχ ὁ ἐπίδοξος βίος, οὐδὲ ἀγάπη χρυσοῦ, ἀλλ᾽ οὔτε φαντασία, τῶν παρόντων ψυχήν σου, χωρίσαι τοῦ Κυρίου Παρασκευᾶ, ἠδυνήθησαν πώποτε, σὺ γὰρ τὰ μένοντα μόνον ἐπιποθῶν, οὐρανοὺς ἐκληρονόμησας.

Δόξα. Ἦχος β΄.

Δεῦτε τὸν καλὸν τραπεζίτην τοῦ Χριστοῦ, Παρασκευᾶν τὸν νεομάρτυρα, μελωδικῶς οἱ χριστώνυμοι εὐφημήσωμεν· οὗτος γὰρ τὸ δηνάριον τῆς Χάριτος ἑκατονταπλασιάσας, τὴν θεοπαράδοτον πίστιν ὡμολόγησε ἐνώπιον ἀθέων, καὶ ἀλογήσας βίου περιφανοῦς καὶ προσκαίρου, δι᾽ ἀγχόνης ὡς πτηνὸν ἐπετάσθη εἰς τὰς αὐλὰς τὰς

πεποθημένας, καὶ πρεσβεύει ἀδιαλείπτως ὑπὲρ ἡμῶν, τῶν ἐκτελούντων χαρμονικῶς τὴν θείαν μνήμην αὐτοῦ.

Καὶ νῦν. Παρῆλθεν ἡ σκιά...

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. ᾿Αναγνώσματα, εἰ βούλει, λέγε τὰ τοῦ ἁγίου Γεωργίου (κγ' ᾿Απριλίου).

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν ἰδιόμελα

Ἦχος α'.

῾Υπεριδὼν θεοπρεπῶς τῶν βιοτικῶν σειρήνων τὰς παγίδας, χριστόστεπτε Παρασκευᾶ, τῆς Τραπεζοῦντος νεομάρτυς καλλίνικε, ἔσχες τὸ πολίτευμά σου ἐν οὐρανοῖς, κατὰ τὸν μέγαν Παῦλον, καὶ τὴν ᾿Ορθοδοξίαν διατόρως κηρύξας ἐνώπιον τυράννων, γέγονας μὲν τῆς ἐπιγείου σου πατρίδος χαρά, τῶν δ᾽ ῾Αγίων συνόμιλος. Μεθ᾽ ὧν πρέσβευε τῷ Κυρίῳ, τηρεῖν ἀεὶ ἐν ἡμῖν τοῦ μαρτυρικοῦ φρονήματος τὸ πῦρ ἀκοίμητον.

Ἦχος β'.

῎Ανθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, καὶ ὡς ὄνειρον παρόδιον ὁ βίος ἅπας, τοῦ Κυρίου φωνοῦντος, ὡς νουνεχὴς Παρασκευᾶ ἀκούσας, τῆς ἀσαλεύτου ζωῆς προετίμησας τὸν κλῆρον, ἀφόβως ὁμολογήσας, τὴν σωστικὴν τοῦ Εὐαγγελίου πίστιν, καὶ σοφῶς ἐξελέγξας τὴν τῶν ᾿Αγαρηνῶν εἰδωλοφροσύνην. ῞Οθεν ἐν οὐρανοῖς νῦν κατοικῶν, μνήσθητι καὶ ἡμῶν τῶν τιμώντων ἐν χαρᾷ τὴν σεπτὴν μνήμην σου.

Ἦχος γ'.

Τοῦ Πόντου εὐμοιρήσας πατρίδα, ἐπόντισας τῇ ἐκχύσει τοῦ σοῦ αἵματος τὸν νοητὸν καὶ σκοτώδη Φαραώ, Παρασκευᾶ θεῖε νεομάρτυς· καὶ ὡς ἀκάτιον χρησάμενος τῇ ἀγχόνῃ, μετεβιβάσθης ἀσφαλῶς εἰς τὰ δώματα τῆς χριστοευφράντου Βασιλείας, ἐν ᾗ ἀπολαύων τῆς τῶν πρωτοτόκων χαρᾶς, μνήσθητι εὐμενῶς, πάντων τῶν τελούντων σου τὴν πανήγυριν.

Ἦχος δ'.

Φλογὶ τῆς τοῦ Κυρίου ἀγάπης ὁλοκαυτούμενος, ἔσβεσας τὸ πῦρ τῆς τῶν ἐγκοσμίων ἡδονῶν ἀπάτης, Παρασκευᾶ θεομακάριστε· καὶ πᾶσι χαῖρε εἰπὼν τοῖς παρερχομένοις τοῦ βίου, γέγονας συνέστιος τῶν πεπελεκισμένων διὰ τὸ ᾿Αρνίον Χριστόν. Αὐτὸν καθικέτευε ἐκτενῶς, τῇ μαρτυρικῇ σου παρρησίᾳ ὑπὲρ ἡμῶν, νεομάρτυς ἀξιοθαύμαστε.

Δόξα. Ἦχος πλ.α'.

Ὦ Τραπεζοῦς ἁγιότοκε, ὦ πόλις μαρτυρομῆτορ, ὡς ἐκαλλιώθη σου ἡ δόξα ἐκ Θεοῦ, ὡς ἐμεγαλύνθη ἐν Χριστῷ τὸ ὄνομά σουπ ᾿Ιδοὺ γάρ, τὸ γενναιόφρον τέκνον σου Παρασκευᾶν, τῇ πορφυραυγεῖ τραπέζῃ τῶν νεομαρτύρων ἀνέθηκας, ὡς ὀψώνιον πολυτελές. Τοῦτον οὖν ἔχουσα πρέσβυν ἀσφαλῆ, τὸν Δεσπότην καθικέτευε, ὅπως καὶ αὖθις σοι ἀποδώσῃ τὴν ἀπωλεσθεῖσαν δόξαν, ἐπενδύων σε στολὴν τὴν πρώτην, καὶ καταργήσῃ τὴν νῦν ἐν σοὶ ἐπιπολάζουσαν τῶν ἀγαρηνῶν σκοτόμαιναν.

Καὶ νῦν. Μακαρίζομέν σε.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἐσοφίσθης μακάριε, τῇ σοφίᾳ τοῦ Πνεύματος, καὶ ἐφλέχθης ἔρωτι τοῦ Κυρίου σου, ὅθεν ποθήσας τὰ μέλλοντα, ὡς μένοντα ἔτυχες, μαρτυρίῳ ἐφετοῦ, ἐξελέγξας ψυχόλεθρον, πλάνην Ἅγιε, καὶ διέβης τὸν κλύδωνα τοῦ βίου, τὸν Χριστὸν ὁμολογήσας, Παρασκευᾶ ὡς Θεάνθρωπον.

*Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...*

Τῷ ἐλαίῳ τῆς πίστεως, τὴν λαμπάδα φαιδρύνας σου, τὸν Νυμφίον Ἅγιε ἐκαρτέρησας, καὶ δι᾽ ἀγχόνης ἐπέτυχες, νυμφῶνος ὡς ἄριστος, τραπεζίτης σου τὴν μνᾶν, ἀποδοὺς σωφρονέστατος, ὅθεν χόρευε, συνεστὼς τοῖς συμμάρτυσί σου χαίρων, καὶ ἡμῶν μὴ ἐπιλάθου, Παρασκευᾶ θεοδόξαστε.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Πλοῦτον δόξαν καὶ εὔκλειαν, οὐδαμῶς λογισάμενος, καὶ τοῦ γένους ἔνδοξον περιφάνειαν, Παρασκευᾶ προετίμησας, θανεῖν διὰ Κύριον, ἵνα εὕρῃς πολλαπλῶς, ἃ ἐνταῦθα κατέλιπες, ὥσπερ ἄχυρον, Βασιλείας δὲ θείας κληρονόμος, ὢν μηδέποτε ἐλλείπῃς, ὑπὲρ ἡμῶν Μάρτυς εὔχεσθαι.

Δόξα. Ἦχος πλ.β'.

Ὡς χριστοφίλητος ἑστιάτωρ καὶ θεοευλόγητος μάρτυς, Παρασκευᾶ Τραπεζούντιε, τράπεζαν ἄφθορον καὶ ψυχευφραντικὴν σήμερον παρέθου ἡμῖν. Ὅθεν μυστικῶς κορεννύμενοι, τῇ τῶν ἀθλητικῶν ἀγώνων σου πανδαισίᾳ, ἱκετεύομέν σε κράζοντες· καὶ ἡμᾶς συμπαράλαβε συνδαιτημόνας, εἰς τὸν Δεῖπνον τὸν ἄφθαρτον.

Καὶ νῦν. Θεοτόκε σύ εἶ ἡ ἄμπελος.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ζωὴν τὴν ἐπίκηρον καταφρονήσας σοφῶς, σαὐτὸν παρεσκεύασας θῦμα σεπτὸν τῷ Χριστῷ, συμφώνως τῇ κλήσει σου·


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ηὔφρανας Ἐκκλησίαν, σῇ ἀγχόνῃ τρισμάκαρ, πλάνην καταπατήσας, τὴν τῆς Ἄγαρ γενναίως, διὸ Παρασκευᾶ σε, ὕμνοις γεραίρομεν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. στιχ. Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Κηρύξας εὐθαρσῶς, τὸν Χριστόν νεομάρτυς, Υἱὸν τὸν τοῦ Θεοῦ, καὶ Σωτῆρα τοῦ κόσμου, τῆς Ἄγαρ ἀπήλεγξας, τὴν σκοτώδη κακόνοιαν, ὅθεν εὔχαρις, ἐπὶ τοῦ ξύλου ἀγχόνης, ὡς στρουθὸς Χριστοῦ, ἀνεβιβάσθης καὶ εὗρες, αἰώνιον κατοίκησιν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σ÷ῴζεις τοὺς δούλους σου.

Μετὰ τὴν β' στιχολογίαν Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Πλούτου ἠλόγησας, καὶ δόξης Ἅγιε, τρωθεὶς τῷ ἔρωτι, Χριστοῦ καρδίαν σου, διὸ ἐκήρυξας Αὐτόν, Θεάνθρωπον τοῖς ἀνόμοις, ὅθεν ἀπηώρησαι, ἐν ἀγχόνῃ καὶ εἴληφας, στέφος τὸ οὐράνιον, γεγονὼς τῆς πατρίδος σου, ἐγκαύχησις κλεινὲ νεομάρτυς, Παρασκευᾶ ἀξιοθαύμαστε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὴν ὡραιότητα, τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον, τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι. Διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Ὡς σοφὸς μεταπράτης, μάρτυς ἀντήλλαξας, τῇ τοῦ αἵματος δόσει, θείαν κατάπαυσιν, κατευφράνας τοὺς πιστοὺς τῇ ἐκδημίᾳ σου, ὅθεν μνημόνευε ἀεί, τῶν εὐφημούντων ἐκ ψυχῆς, σὴν ἄθλησιν τὴν ἁγίαν, καὶ παρασκεύασον ἄνω, Παρασκευᾶ ἡμῖν τράπεζαν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον, χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε, χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητούς, πρὸς τὴν αἰώνιον ζωήν, χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Οἱ Ἀναβαθμοί, τὸ α' ἀντιφ. τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
Στίχ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κυριος.*
Πᾶσα πνοή.
**Εὐαγγέλιον·** τοῦ ὄρθρου τοῦ ἁγ. Γεωργίου (κγ' Ἀπριλίου).
Ὁ Ν'.
Δόξα. Ταῖς τοῦ ἀθλοφόρου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον
Ἦχος πλ.β'.

Τῆς μυστικῆς τραπέζης ἐντρυφῶν Παρασκευᾶ ἀθλοφόρε, μὴ ἐπιλάθου πέμπειν φιλαδέλφως καὶ ἡμῖν, τοῖς ἔτι περιλειπομένοις, καὶ τὸν Χριστὸν σφόδρα πεινῶσι, ψιχία τῆς μαρτυρικῆς δόξης σου, ἵνα κατὰ χρέος τιμῶμεν Νεομάρτυς Τραπεζούντιε, τὴν χαρμόσυνον μνήμην σου.

**Ὁ Κανὼν τοῦ Νεομάρτυρος, οὗ ἡ ἀκροστιχίς:**
*"Τράπεζαν, Παρασκευᾶ, ἑτοίμαζέ μοι ἄνω. Ἀ(θανάσιος)".*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ὠιδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Τὴν θείαν σου ἄθλησιν, Παρασκευᾶ ἑορτάζοντες, δεήσεις αἰτούμεθα, τὰς φιλαδέλφους σου, ὅπως χαίροντες, τελέσωμεν τὸν δρόμον, καὶ λάβωμεν στέφανον, μυριοπόθητον.

Ῥεόντων ὁ πόθος σε, οὐ κατεκράτησεν Ἅγιε, τυχεῖν τῆς ἐφέσεως, ἀλλὰ ἐπύρωσεν, τὴν καρδίαν σου, τὸ φίλτρον τοῦ Δεσπότου, πρὸς Ὃν Μάρτυς ἔφθασας, ὡς ναῦς πολύολβος.

Ἀγάπης κειμήλιον, Παρασκευᾶ ἀναδέδειξαι, ἐν ὅλῃ καρδίᾳ σου ποθήσας Κύριον, καὶ ἐξέχεας, τὸ αἷμά σου προθύμως, δι᾽ οὗ ἐπορφύρωσας, γῆν τραπεζούντιον.

### Θεοτοκίον

Πανάμωμε Δέσποινα, ἐν σῇ κοιλίᾳ ἐβάστασας, Χριστὸν Ὧι οἱ Μάρτυρες κατηκολούθησαν, καὶ γεγόνασι, Αὐτοῦ θείας ἀγάπης, εὐπρόσδεκτα θύματα, κόσμον μισήσαντες.

## Ὠιδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ἐφλέχθης τῷ ἔρωτι Κυρίου, καὶ πάντα παρεῖδες τὰ τερπνά, τοῦ βίου καὶ τὰ θέλγητρα, Παρασκευᾶ χριστόψυχε, καὶ λεοντίως ἔδραμες, πρὸς τὴν ὁδὸν τῆς ἀθλήσεως.

Ζωὴ πεφυκὼς ὁ Ἰησοῦς μου, καὶ μόνος Σωτὴρ γένους βροτῶν, πλανᾶσθε ἔφης ἄνθρωποι, τὴν πλάνην τῆς σκοτώσεως, Παρασκευᾶ μακάριε, διὸ Αὐτῷ ἐπιστρέψατε.

Ἀνοίξατε πύλας τῆς καρδίας, καὶ ἴδετε φῶς ἀληθινόν, ἀγαρηνοῖς ἐβόησας, ὦ Νεομάρτυς πάντιμε, ὃ ἐκ Χριστοῦ παρέχεται, καὶ σῴζει γένος ἀνθρώπινον.

### Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νικῶσι με πάθη τὰ ὑλώδη, καὶ νόμος ὁ ἕτερος ῾Αγνή, **διὸ** ἐπικαλοῦμαί σου, τὴν ἄμαχον βοήθειαν, ἵνα ἐκφύγω πτώσεως, καὶ μεγαλύνω Δεσπότην μου.

Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Γενναιότητι ψυχῆς, μάρτυς Χριστοῦ Παρασκευᾶ, ἠκολούθησας Αὐτῷ, ὥσπερ ἀρνίον τῷ κριῷ, ὁμολογήσας ἐνώπιον τῶν τυράννων, τὴν σάρκωσιν τρανῶς, καὶ τὰ παθήματα, ὧν γέγονας σοφός, ἐκμιμητής ἀθλητά, καὶ εἰληφώς τὸ στέφος νῦν ὑπερεύχῃ, τῶν γεραιρόντων τὴν μνήμην σου, καὶ αἰτουμένων, τὰς ἱκεσίας, σοῦ Τραπεζούντιε ἔνδοξε.

Θεοτοκίον, ὅμοιον.

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε· βάτον ἐν πυρὶ, ἀκατάφλεκτον, ῥάβδον Ἀαρών, τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει Παρθένος.

Ὠιδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Πίπτει ὡς ἀνίσχυρον πετεινόν, ὁ ἀντίδικός σοι διάβολος, καὶ ὀλολύζων, κλαίει σφόδρα τὴν αὐτοῦ, ἧτταν καὶ τὴν ταπείνωσιν, ἣν Παρασκευᾶ τεταπείνωται.

Ἄγαρ τὰ γεννήματα σφαλερῶς, ἔχοντα τὴν πίστιν ἠθέλησαν, σὲ ἀποστῆσαι, τοῦ φωτὸς Παρασκευᾶ, ὅμως ματαίως ἔδραμον, σὲ εὑρόντες πέτραν στερέμνιον.

Ῥήτωρ ἀνεδείχθης τὴν τοῦ Χριστοῦ, περὶ τὸ ἀνθρώπινον κένωσιν, τοῖς παρανόμοις, ἀναπτύξας ἀθλητά, ὅμως οὐκ ἠβουλήθησαν, σκότος διαπτῦσαι οἱ ἄθλιοι.

Θεοτοκίον

Ἄνασσα ἀγγέλων τε καὶ βροτῶν, γέγονας λοχείᾳ τῇ θείᾳ σου, Παρθενομῆτορ, ἣν κλεινὸς Παρασκευᾶς, τρανῶς καθωμολόγησε, πρὸ τοῦ κριτηρίου ὡς εὔτολμος.

Ὠιδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Σωθῆναι δυνάμενος, Παρασκευᾶ χριστόψυχε, ἐκ τοῦ γενομένου μαρτυρίου, οὐ δειλιάσας, τὴν τῆς παρούσης ζωῆς, πρόσκαιρον ἀπώλειαν θερμῶς, ἔδραμες πρὸς ἄθλησιν, δι᾽ ἀγάπην Κυρίου σου.

Κρατήσας τῆς πίστεως, τὸν θησαυρὸν ἀλώβητον, νῦν ἐθησαυρίσθης νεομάρτυς, ἐν τοῖς ταμείοις, τοῦ οὐρανοῦ ἀσφαλῶς, ἔνθεν ἐξαπόστειλον ἡμῖν, δύναμιν παλαίουσι, κατ᾽ ἐχθροῦ ψυχολέτειρος.

Εἷς πέλει τρισάγιος, Θεὸς καὶ ὑπερούσιος, ἔκραξας γενναίως τοῖς ἀνόμοις, ὑμῶν δὲ μύθοι, πρὸς τὴν αἰώνιον, ἄγουσιν ἀπώλειαν ψυχάς, ὅθεν ἐπιστρέψατε, πρὸς τὸ φῶς καὶ φωτίσθητε.

Θεοτοκίον

Ὑλώδεις καὶ ἄχρηστοι, κυκλοῦσι Παναμώμητοι, λογισμοὶ τὴν τάλαιναν καρδίαν, καὶ ἐκζητοῦσιν, ἐπὶ τοῦ πίνακος, τὴν ψυχὴν ὡς δήμιοι δεινοί, διὸ σπεῦσον σῶσόν με, μητρικῇ προστασίᾳ σου.

Ὠιδὴ στ'. Τὴν θείαν ταύτην.

Ἀγχόνην χαίρων πανάριστε, ἐδέξω τὴν Χριστῷ σε συνάψασαν, καὶ στέφος ἄφθαρτον, ἐπενεγκοῦσαν ἠγάπησας, καὶ τοῦ θείου Δείπνου μετέσχηκας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Εἰ ὧδε ἔλεγες πάσχομεν, Χριστοῦ ὁμολογοῦντες διδάγματα, ἄνω εὑρήσομεν, τὴν αἰωνίαν ἀνάπαυσιν, σὺν πᾶσι τοῖς Ἁγίοις, ὦ ἀλιτήριοι.

Τυράννων φροῦδας ἀπέδειξας, ἐλπίδας ἀθλητὰ γενναιότατε, ὅτε ἠγχόνισαι, τῶν δὲ πιστῶν τὰ συστήματα, ἐνέπλησας ἀπείρου, χαρᾶς θανάτῳ σου.

Θεοτοκίον

Οὐ στέργω Μῆτερ διάστασιν, Υἱοῦ σου καὶ Θεοῦ με χωρίζουσαν, ὅθεν προβάλλομαι, σὲ ἀσθενείας μου στήριγμα, ἐλπὶς ἀπηλπισμένων, καὶ καταφύγιον.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον

Τὸν Χριστὸν Θεάνθρωπον, ὁμολογήσας γενναίως,
τὴν ἀχλὺν διέλυσας, ἀγαρηνῶν νεομάρτυς,
ὅθεν σε, ἀναβιβάσαντες τῇ ἀγχόνῃ,
στέφανον, σοὶ προεξένησαν ἀφθαρσίας·
διὸ πρέσβευε ἀπαύστως, ὑπὲρ τιμώντων,
Παρασκευᾶ τὴν μνήμην σου.

**Ὁ Οἶκος**

Τραπεζοῦντος τὸν γόνον τὸν ἔξοχον,
οὐρανῶν συμπολίτην γινώσκομεν,
ὡς ὁμολογητὴν χριστόφωνον καὶ τῶν Νεομαρτύρων ἀγλάϊσμα·
οὗτος γὰρ καὶ ἐπὶ γῆς περιφάνειαν ἐκέκτητο,
ἀλλὰ καὶ ἄνω νῦν τοῖς δυνατοῖς τοῦ Θεοῦ συνηρίθμηται,
πλάνην ἐλέγξας κραταιῶς τὴν τῆς Ἄγαρ,
καὶ Θεανθρώπου ἀνακηρύξας τὰ σωτήρια δόγματα.
Τῇ ἀγχόνῃ δ᾽ ἀνελθών, μετεωροπόρος ὤφθη ταχύπτερος,
καὶ συνεσθίει τοῖς μάρτυσιν ἐν Δεσποτικῇ τραπέζῃ
φιλαδέλφως ἡμῶν ἀεὶ προσδεχόμενος τὴν αἴτησιν·
Πρέσβευε Χριστῷ ἐκτενῶς ὑπὲρ πιστῶν τιμώντων,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Παρασκευᾶ, τὴν μνήμην σου.

Στίχοι

*Τράπεζαν θείαν παρεσκεύασας ἄνω,*
*Παρασκευᾶ, ἀθλήσας ἀγχόνῃ κάτω.*
*Πρώτῃ Τραπεζούντιος Χριστοῦ τραπέζῃ ἀνεκλίθη.*

*Τὸ Συναξάριον*

Οὗτος ὁ ἅγιος νεομάρτυς Παρασκευᾶς ἦν τις τῶν περιφανῶν πολιτῶν καὶ ἀρχόντων τῆς περικλύτου εὐξεινοποντικῆς μεγαλουπόλεως καὶ πρωτευούσης Τραπεζοῦντος. Ὁμολογήσας οὖν ἐν αὐτῇ τὸ μέγα μυστήριον τῆς τοῦ Δεσπότου ἡμῶν Χριστοῦ θείας Οἰκονομίας, ἀχθεὶς ἐνώπιον τῶν ἐντοπίων τῆς ἀγαρηνῶν πλάνης ὑπερμάχων, καὶ μὴ δεξάμενος ἀρνήσασθαι τὴν Ὀρθόδοξον πίστιν, κατεκρίθη ὑπ᾽ αὐτῶν καὶ κρεμασθεὶς ἀπηγχονίσθη τῇ 1ῃ τοῦ μηνὸς Μαρτίου τοῦ σωτηρίου ἔτους 1659 εἰς τὴν ἑαυτοῦ γενέτειραν. Τὸ μαρτυρικὸν καὶ τίμιον λείψανον ἀποκρεμάσαντες παρέλαβον ἐν χαρᾷ ψυχῆς οἱ εὐλαβεῖς χριστιανοί, καὶ ἔθαψαν ἐντίμως ἐντὸς τοῦ ἱεροῦ ναοῦ τοῦ ἁγίου Γρηγορίου Νύσσης· μετὰ δὲ χρόνους τὴν κατὰ τὰ ἡμέτερα ἐκκλησιαστικὰ εἰωθότα ἀνακομιδὴν ποιήσαντες, ἐφύλαξαν τοῦτο μετ᾽ εὐλαβείας εἰς τὴν περιώνυμον Ἱερὰν Μονὴν τῆς Παναγίας Θεοσκεπάστου Τραπεζοῦντος.

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ἰθυνόμενος, πνοῇ τοῦ θείου Πνεύματος, μάρτυς πανένδοξε, μετὰ φωνῆς ἰσχυρᾶς, Χριστοῦ ὡμολόγησας, τὴν συγκατάβασιν, ὅθεν εἴληφας, κατὰ τὴν παῤῥησίαν σου, καὶ τὸν στέφανον τῆς νίκης.

Μὴ ἐλπίζετε, ἐπαγγελίας ἄνομοι, ψευδοπροφήτου σαθροῦ, ἐβόας τοῖς σοῖς κριταῖς, ἀλλὰ ἐπιστρέψατε, ἐπὶ τὸν Κύριον, τὸν παρέχοντα, πᾶσιν ἀνθρώποις ἔλεος, καὶ Αὐτοῦ τὴν βασιλείαν.

Ἄρχων πέφυκας, ἐπὶ τῆς γῆς πανέντιμος, Παρασκευᾶ θαυμαστέ, ἀλλὰ καὶ οὐράνιον, δόξαν κατείληφας, ὁ γὰρ Κύριος, ἑκατονταπλασίονα, ἀνταπέδωκε τὴν δόσιν.

Θεοτοκίον

Ζωοποίησον, θανόντα ἐκ πταισμάτων με, ὦ Παναμώμητε, καὶ αἴροντα ἐπαχθές, φορτίον τῶν πράξεων, δι᾽ ὧν ἐλύπησα, τὸν Δεσπότην μου, ταῖς μητρικαῖς πρεσβείαις σου, τοῦτον Μῆτερ δυσωποῦσα.

᾿Ωιδὴ η'. Παῖδας εὐαγεῖς.

Ἔχων νῦν ἅ πρώην ἐπεπόθεις, μετάδος ὦ νεομάρτυς τοῖς τιμῶσι σε, οὐρανόθεν χάριτας, καὶ Χριστὸν ἱκέτευσον, ὅπως παράσχῃ ἄφεσιν, πλημμελημμάτων ἡμῶν, καὶ στηρίξῃ, πάντας τοὺς ὁδεύοντας, τὴν ὁδὸν ἐντολῶν τὴν σωτήριον.

Μοίρας δεξιᾶς ἠξιωμένος, Κριτὴν ἐκδυσώπησον πρεσβείαις σου, μάρτυς τραπεζούντιε, δεξιόθεν στῆσαι με, ἐν τῇ ἡμέρᾳ Κρίσεως, τὸν ἀνυμνοῦντά σε, ἐκκαθαίρων, τῆς ψυχῆς μου πταίσματα, συγγνωστὰ καὶ ἀσύγγνωστα ἅπαντα.

Ὅλος τοῦ φωτὸς ἐμπεπλησμένος, ἀκτῖνας φωτοειδεῖς ἡμῖν κατάπεμψον, τὰς λυούσας ἅγιε, νέφη τὰ τῶν θλίψεων, καὶ τὸν Χριστὸν ἱκέτευσον, ὅπως παράσχῃ τὸ φῶς, τοῖς ἐν σκότει, οὖσι παραπτώσεων, καὶ καρδίας ἀνοίξῃ τὰ ὄμματα.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἶρις τοῦ Θεοῦ εἰρηνοφόρος, ἐφάνης Πανάμωμε τοῖς δούλοις σου, τὸν εἰρήνης Ἄρχοντα, τέξασα καὶ ἥνωσας, ἅπερ δεινῶς ἐχώρισεν, τῆς ἁμαρτίας κλυσμός, ὅθεν δίδου, πάντοτε σῇ χάριτι, σωτηρίας ψυχῶν τὴν βεβαίωσιν.

## Ὠιδὴ θ'. Ἅπας γηγενής.

Ἄγαρ δουλικήν, ὁ δοῦλος τῷ σώματι, μάρτυς ἠχρείωσας, τῇ γὰρ μαρτυρίᾳ σου, ταύτην ἀπέπνιξας γενναιότατα, γενόμενος τῇ πόλει σου, καύχησις ἔνδοξος, καὶ γονάτων, στήριξις θεόσδοτος, ἀδελφῶν σου συνδούλων χριστόψυχε.

Νίκην τὴν κλεινήν, λαβὼν ἐνδοξότατε, ἡμῖν συνέργησον, ἔτι ἐν τοῖς σώμασιν, ὑποκειμένοις καὶ πρὸς τὰ πνεύματα, τῆς πονηρίας ἔχουσιν, ἀγῶνα ἄνισον, ὅθεν δίδου, χεῖρά σου φιλάδελφον, ἐνισχύων ἡμᾶς ταῖς πρεσβείαις σου.

Ὦ Παρασκευᾶ, μάρτυς Τραπεζούντιε, καὶ χριστοστέφανε, τράπεζαν ἑτοίμαζε, τοῖς σὲ τιμῶσιν εἰς τὴν οὐράνιον, καὶ ποθητὴν πανήγυριν, τῶν πρωτοτόκων χορῶν, ὅπου πάντες, εἰς αἰῶνα ἅπαντα, εὐλογῶμεν Τριάδα ὑπέρθεον.

## Θεοτοκίον

Ἄνασσα Ἁγνή, τὸ κάλλος τὸ πρότερον ἡμῶν ἠχρείωται, ποῦ ἡ Θεοσκέπαστος, καὶ πάντα Πόντου θυσιαστήρια; τὸ βδέλυγμα ἐκράτησεν φεῦπ ἐρημώσεως, ἐκδιῶξαν, πίστιν τὴν Ὀρθόδοξον· ὅθεν τάχει τὴν πτῶσιν ἀνάστησονπ

## Ἐξαποστειλάριον.
## Ἦχος β'. Τοῖς μαθηταῖς συνέλθωμεν.

Παρασκευὴν ποιούμενος, σῆς ἐξόδου σοφίᾳ, ὅτε Χριστός σε κέκληκεν, μαρτυρῆσαι προθύμως, εἰσῆλθες ἐν τῷ σταδίῳ, καὶ καθεῖλες τῆς πλάνης, πατέρα καὶ γεννήτορα, ὃν ἀγχόνῃ τελείᾳ, δι᾽


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἧς αὐτός, ᾤετό σε μάρτυς κατανικῆσαι, Παρασκευᾶ παρέδωκας, Τραπεζοῦντι ἀθλήσας.

Θεοτοκίον. Ὅμοιον.

Δέσποινα Θεοσκέπαστε, Μῆτερ εὐλογημένη, ἡ σῇ Μονῇ φυλάξασα, ὡς πολύτιμον ὄλβον, λειψάνων τὴν θείαν θήκην, Νεομάρτυρος τοῦτον, συμπρεσβευτὴν παράλαβε, σὺν χορείᾳ Ἁγίων, τῶν ἀπ᾽ ἀρχῆς, Τραπεζοῦντι Κόρη διαλαμψάντων, καὶ τῷ Χριστῷ πρεσβεύετε, ὑπὲρ σύμπαντος κόσμου.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

Στιχηρὰ προσόμοια.
Ἦχος πλ.δ'. Ὢ τοῦ παραδόξου θαύματος

Παρασκευᾶ τραπεζούντιε, κλέος πατρίδος τερπνόν, τῇ ἀθλήσει σου ηὔφρανας, χριστωνύμους ἅπαντας, καὶ τὴν πίστιν ἐστήριξας· τελέσας δρόμον τὸν τῆς ἀθλήσεως, εἴληφας στέφος, τὸ ἀμαράντινον· ὅθεν τὸν Κύριον, ἐκτενῶς ἱκέτευε ὑπὲρ ἡμῶν, τῶν τελούντων σήμερον, τὴν θείαν μνήμην σου.

Παρασκευᾶ γενναιότατε, πῦρ ἐν καρδίᾳ βαλών, ὁ Χριστὸς πρῶτος ἥναψεν, ὅλος πῦρ γεγένησαι, καὶ κατέφλεξας ξόανα, μακρύνοντά σε τῆς ἁγιότητος, καὶ αἰωνίας ζωῆς στεροῦντά σε· διὸ τῆς πίστεως, σωστικὸν μυστήριον πρὸ δικαστῶν, πόθῳ ὡμολόγησας, καὶ ἐμαρτύρησας.

Παρασκευᾶ χριστοφίλητε, ὡς στρατιώτης Θεοῦ, πανοπλίαν ἐνδέδυσαι, Παναγίου Πνεύματος, συμπλακεὶς σκότους ἄρχοντι, ὃν καὶ καθεῖλες σοφῇ ἐνστάσει σου, πλάνην ἐλέγξας, Ἄγαρ τὴν

δύσθεον, ὅθεν ὡς κλίμακα, πρὸς Χριστὸν ἀνάγουσαν, εὗρες καλήν, τὴν ἀγχόνην ἅγιε, τὴν στεφοδότειραν.

Παρασκευᾶ παμμακάριστε, σὸν αἷμα δοὺς τῷ Χριστῷ, τῶν μαρτύρων συνόμιλος, γέγονας καὶ εἴληφας, ἃ ἐπόθεις καὶ ἤλπιζες· διὸ πρεσβεύων, μὴ παύσῃ Ἅγιε, ὑπὲρ πατρίδος καὶ συνωνύμων σοι, δρόσον τῆς χάριτος, πέμπων ὡς ἀντίδωρον, ἐξ οὐρανοῦ, τοῖς πιστῶς γεραίρουσι, τὸ σὸν μνημόσυνον.

Δόξα. Ἦχος ὁ αὐτός.

Ὡς τῶν μελλόντων ποθητής, καὶ τῶν μενόντων γνώστης, Παρασκευᾶ ἀξιάγαστε, εἰς φιλοτιμίαν μετεποίησας τὴν ἀνάγκην· πλούτου γὰρ καὶ δόξης καὶ περιφανείας κοσμικῆς τὸ νέφος, Θεοῦ ἀγάπης χωρίσαι σε οὐκ ἴσχυσεν. ῾Ὅθεν ὡς πνευματοδήγητος θεολόγος, τὴν τῶν ἐσκοτισμένων ἀγαρηνῶν πλάνην μυκτηρίσας τρανῶς, τῇ ἀγχόνῃ ὡς ταχυδρόμος δρομεὺς κατείληφας τὴν ποθητήν σοι νύσσαν τῆς Βασιλείας. Πρέσβευε οὖν δεόμεθα, Νεομάρτυς πανένδοξε, καὶ ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι.

Μεγαλυνάρια

Τὸν τῆς Τραπεζοῦντος θεῖον βλαστὸν, καὶ τραπέζης ἄνω, καλλιέρημα μυστικόν, τὸν ἀγχόνῃ δρόμον, τελέσαντα Μαρτύρων, Παρασκευᾶν ἐν ὕμνοις, ἀνευφημήσωμεν.

Θείαν παρεσκεύασας χαρμονήν, σεαυτῷ τρισμάκαρ, τῇ ἀγχόνῃ τελειωθείς, πλάνην δὲ τῆς Ἄγαρ, σκοτώδη διαλύσας, Παρασκευᾶ εὐφραίνῃ, σὺν τῷ Κυρίῳ σου.

Μνήσθητι τιμώντων σου τὴν σεπτήν, ἄθλησιν ἐκ πόθου, νεομάρτυς Παρασκευᾶ, καὶ χαρᾶς ἀλήκτου, ἀξίωσον εὐχαῖς σου, ἐν ὥρᾳ τῇ ἐσχάτῃ, τοὺς φιλομάρτυρας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Στίχοι

*Ἐσταυρωμένῳ Παρασκευῇ μὴ παύσῃ,*
*Παρασκευᾶ, ὑπὲρ ἡμῶν πρεσβεύειν.*